## VI (2)

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε,
τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
νεβρίδα, τὰν πήραν ᾇ ποκ᾽ ἐμαλοφόρει.

## VII (15)

γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον ἢ καὶ ὁ δειλός
ἐκ σέθεν ὡσαύτως ἶσον, ὁδοιπόρ᾽, ἔχει.
"χαιρέτω οὗτος ὁ τύμβος," ἐρεῖς, "ἐπεὶ Εὐρυμέδοντος
κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς."

## VIII (7)

νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτός,
Εὐρύμεδον, τύμβου τοῦδε θανὼν ἔτυχες.
σοὶ μὲν ἕδρα θείοισι μετ᾽ ἀνδράσι· τὸν δὲ πολῖται
τιμασεῦντι πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

## IX (16)

ἡ παῖς ᾤχετ᾽ ἄωρος ἐν ἑβδόμῳ ἤδ᾽ ἐνιαυτῷ
εἰς Ἀίδην πολλῆς ἡλικίης προτέρη,
δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν
νήπιον ἀστόργου γευσάμενον θανάτου.